Δα. πέπονθα τὴν ψυχήν τι παιδίcκην ὁρῶν
cυντρεφομένην ἄκακον, κατ᾽ ἐμαυτόν, ὦ Γέτα.
Γετ. δούλη ᾽cτιν;
(Δα.) οὕτως, ἡcυχῆι, τρόπον τινά.
ποιμὴν γὰρ ἦν Τίβειος οἰκῶν ἐνθαδὶ
Πτελέαcι, γεγονὼc οἰκέτηc νέος ὢν ποτε.
ἐγένετο τούτωι δίδυμα ταῦτα παιδία,
ὡc ἔλεγεν αὐτός, ἥ τε Πλαγγών, ἧc ἐρῶ—
(Γετ.) νῦν μανθάνω.
Δα. τὸ μειράκιόν θ᾽, ὁ Γοργίαc.
⟨Γετ.⟩ ὁ τῶν προβατίων ἐνθάδ᾽ ἐπιμελούμενοc
νυνὶ παρ᾽ ὑμῖν;
Δα. οὗτοc. ὧν ἤδη γέρων
ὁ Τίβειοc ὁ πατὴρ εἰc τροφήν γε λαμβάνει
τούτοιc παρὰ τοὐμοῦ δεcπότου μνᾶν, καὶ πάλιν
(λιμὸc γὰρ ἦν) μνᾶν, εἶτ᾽ ἀπέcκλη.
Γετ. τὴν τρίτην
ὡc οὐκ ἀπεδίδου τυχὸν ὁ δεcπότηc ὁ cόc.
(Δα.) ἴcωc. τελευτήcαντα δ᾽ αὐτὸν προcλαβὼν
ὁ Γοργίαc τι κερμάτιον ἔθαψε καὶ
τὰ νόμιμα ποιήcαc πρὸc ἡμᾶc ἐνθάδε
ἐλθὼν ἀγαγών τε τὴν ἀδελφὴν ἐπιμένει
τὸ χρέοc ἀπεργαζόμενοc.
Γετ. ἡ Πλαγγὼν δὲ τί;
Δα. μετὰ τῆc ἐμῆc κεκτημένηc ἐργάζεται
ἔρια διακονεῖ τε, παιδίcκη πάνυ,
Γέτα—καταγελᾶιc;
(Γετ.) μὰ τὸν Ἀπόλλω.
Δα. πάνυ, Γέτα,
ἐλευθέριοc καὶ κοcμία.
(Γετ.) τί οὖν cύ; τί
πράττειc ὑπὲρ cαυτοῦ;



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41693384X/144 UNIVERSITÄT LEIPZIG